THEOPHRASTUS

DE PRIMA PHILOSOPHIA
LIBELLUS

INDEX SCHOLARVM

QVAE

SVMMIS AVSPICIIS

REGIS AVGVSTISSIMI

G V I L E L M I II

IMPERATORIS GERMANICI

IN VNIVERSITATE FRIDERICIA GVILELMIA RHENANA

PER MENSES HIBERNOS ANNI CIƆIƆCCCLXXXX—XXXXI

A DIE XVI MENSIS OCTOBRIS

PVBLICE PRIVATIMQVE HABEBVNTVR

INEST THEOPHRASTI DE PRIMA PHILOSOPHIA LIBELLVS
AB H. VSENERO EDITVS

BONNAE

TYPIS CAROLI GEORGI VNIV. TYPOGR.

INDEX SCHOLARVM

QVAE

SVMMIS AVSPICIIS

REGIS AVGVSTISSIMI

GVILELMI II

IMPERATORIS GERMANICI

IN VNIVERSITATE FRIDERICIA GVILELMIA RHENANA

PER MENSES HIBERNOS ANNI CIƆIƆCCCLXXX—LXXXI

A DIE XVI MENSIS OCTOBRIS

PVBLICE PRIVATIMQVE HABEBVNTVR

INEST THEOPHRASTI DE PRIMA PHILOSOPHIA LIBELLVS
AB H. VSENERO EDITVS

BONNAE

TYPIS CAROLI GEORGI VNIV. TYPOGR.

RECTOR ET SENATVS
VNIVERSITATIS FRIDERICIAE GVILELMIAE RHENANAE
CIVIBVS
S.

Theophrasti de prima philosophia fragmentum olim a me musei Rhenani t. XVI p. 259 sqq. tractatum ut secundis curis repeterem, haec potissimum mihi causa fuit, quod codicem omnium longe principem bybliothecae Parisiensis nationalis gr. n. 1853 saeculi decimi (f. 303—312) summa cura conlatum et ut aiunt cum pulnisculo excussum uir doctissimus M. A. DESROVSSEAVX uniuersitatis Insulanae professor donum gratissimum nuper mihi obtulit. ad huius enim exempli fidem Theophrasti libellum recensendum esse nemo tam caecus erit quin perspiciat. tanta eius etiam in hoc libello fere ubique praestantia conspicitur, quam ne in rebus minutis quidem desideres, uelut cum p. XI ^{a}4 solus διστασμόν tradit aut p. V ^{b}4 ex omnibus ueterum scriptorum Atticorum libris, quantum uideo, unus ἄπαυτος sine σ seruauit. nouum eius modi specimen nunc demum emergit ἅμα cum iota muto scriptum quinquiens V ^{a}12 ἅμαι V ^{a}25 ^{b}3 VI ^{a}8 ^{b}3 ἅμαι, semel tantum ex uolgari sermonis graeci usu ἅμα dari uidemus p. IX ^{b}22. notum est ἁμᾷ aduerbium doricum, quod casu locatiuo declinatum h. e. cum iota scriptum esse et codices Pindari Pyth. 3, 36 (ἁμᾶι Q) Theocriti id. 9, 4 Callimachi h. in lauacrum Palladis 75 testantur neque Herodianus in schol. Pind. Pyth. 3, 65 dubitauit, etiamsi ab aliis ζητεῖσθαι dicit. simillimum et forma et accentu est πέρᾳ, quod postquam in Fleckeiseni annali 1865 p. 265 sq. uindicaui, Buechelerus in Iure Gortyniensium p. 10 optime stabiliuit. negari igitur iam non poterit Theophrastum fortasse consuetudinem patriae linguae secutum contra atque Atticos ἅμᾳ enuntiare ac scribere solitum esse. quam rem sine noua illa conlatione ne diuinare quidem licuit. quodsi codex tam egregius dignus est de cuius lectione cuiuis legenti quam certissime constet, ei rei satis superque prouisum erat conlatoris Desrousseaux magna minuta aeque curantis testimonio accuratissimo. sed ut eius fides etiam magis solito augeretur et stabiliretur, insperato casu his ipsis diebus euenit. uersabatur iam in operarum manibus haec editio, cum ALFREDVS GERCKE certiorem me fecit eorum qui bybliothecae Parisiensi praefecti sunt liberalitate eximia codicem illum sibi petenti Berolinum missum esse. ac facile a iuuene amicissimo impetraui ut, quo magis quidquid de illo referrem certa et indubitata fide niteretur, codicem his ipsis schedis adhibitis pertractaret.

Volgata lectio eis codicibus nititur, qui syllogen minorum Theophrasti scriptorum conplectuntur. eam qui prae ceteris testaretur idoneus uisus est codex Vaticanus gr. n. 1302 olim F. Vrsini, quode cf. Brandisius in comment. academiae Berolinensis a. 1831 p. 72. de hoc quod rectius referre licuit, eiusdem A. GERCKE beneuolentiae debeo, qui codicis diligentissime ab ipso conlati lectionem officiosissime mihi impertiit (A). sed idem primus intellexit editionis uolgatae non unum esse genus neque omnium eius exemplorum fontem Vaticanum illum, quem non saeculo XIII ut ferebant, sed XIV adscribendum esse. ac diversi ab A generis exemplum ipse olim euolueram codicem Bernensem 402 (f. 14 —21^r). tamen quoniam is codex (B) in hoc quidem libello raro ab A discedit, nolui omni lectionis aberrantis farragine admixta adnotationem onerare: paucis tantum locis, ubi utile uisum est aut ubi eius corrector emendationem necessariam praeiuerat, illius mentionem feci.

De diasceuastae, Tyrannionis opinor, uestigiis qui duobus commentariolis contaminatis hunc libellum primus concinnasse uidetur, et olim mus. Rhen. XVI p. 269 sq. et nunc in adnotatione p. VI ^{b}3 VII ^{a}15 IX ^{a}16 X ^{b}4 XI ^{a}27 dixi.

ΘΕΟΦΡΑΣΤΟΥ ΤΩΝ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ

1 Πῶς ἀφορίσαι δεῖ καὶ ποίοις τὴν ὑπὲρ τῶν
πρώτων θεωρίαν; ἡ γὰρ δὴ τῆς φύσεως πολυ-
χουστέρα, καὶ ὥς γε δή τινές φασιν, ἀτακτοτέρα,
μεταβολὰς ἔχουσα παντοίας· ἡ δὲ τῶν πρώτων
ὡρισμένη καὶ ἀεὶ κατὰ ταὐτά· διὸ δὴ καὶ ἐν νοη-
τοῖς, οὐκ αἰσθητοῖς, αὐτὴν τιθέασιν ὡς ἀκινήτοις
καὶ ἀμεταβλήτοις, καὶ τὸ ὅλον δὲ σεμνοτέραν καὶ
2 μείζω νομίζουσιν αὐτήν. Ἀρχὴ δέ, πότερα συν-
αφή τις καὶ οἷον κοινωνία πρὸς ἄλληλα τοῖς τε
νοητοῖς καὶ τοῖς τῆς φύσεως, ἢ οὐδεμία ἀλλ' ὥς-
περ ἑκάτερα κεχωρισμένα, συνεργοῦντα δέ πως εἰς
τὴν πᾶσαν οὐσίαν. εὐλογώτερον δ' οὖν εἶναί τινα
συναφὴν καὶ μὴ ἐπεισοδιώδες τὸ πᾶν, ἀλλ' οἷον
τὰ μὲν πρότερα τὰ δ' ὕστερα, καὶ ἀρχὰς τὰ δ'
ὑπὸ τὰς ἀρχάς, ὥσπερ καὶ τὰ ἀΐδια τῶν φθαρ-
τῶν. εἰ δ' οὖν οὕτω, τίς ἡ φύσις αὐτῶν καὶ ἐν
3 ποίοις; εἰ μὲν γὰρ ἐν τοῖς μαθηματικοῖς μόνον
τὰ νοητά, καθά περ | τινές φασιν, οὔτ' ἄγαν εὔ-
σημος ἡ συναφὴ τοῖς αἰσθητοῖς, οὔθ' ὅλως ἀξιό-
χρεα φαίνεται παντός· οἷον γὰρ μεμηχανημένα
δοκεῖ δι' ἡμῶν εἶναι σχήματά τε καὶ μορφὰς καὶ
λόγους περιτιθέντων, αὐτὰ δὲ δι' αὐτῶν οὐδεμίαν

ἔχειν φύσιν· εἰ δὲ μή, οὐχ οὕτως γε συνάπτειν
τοῖς τῆς φύσεως ὥστ' ἐμποιῆσαι καθά περ ζωὴν
καὶ κίνησιν αὐτοῖς· οὐδὲ γὰρ αὐτὸς ὁ ἀριθμός,
ὅν περ δὴ πρῶτον καὶ κυριώτατον τινὲς τιθέασιν.
εἰ δ' ἑτέρα τις οὐσία προτέρα καὶ κρείττων ἐστίν, 4
ταύτην πειρατέον λέγειν, πότερον μία τις κατ'
ἀριθμὸν ἢ κατ' εἶδος ἢ κατὰ γένος. εὐλογώτερον
δ' οὖν ⟨οὐσίαν⟩ ἀρχῆς φύσιν ἔχουσαν ἐν ὀλίγοις
εἶναι καὶ περιττοῖς, εἰ μὴ ἄρα καὶ πρώτοις καὶ ἐν
τῷ πρώτῳ. τίς δ' οὖν αὕτη καὶ τίνες, εἰ πλείους,
πειρατέον ἐμφαίνειν ἀμῶς γέ πως εἴ τε κατ' ἀνα-
λογίαν εἴ τε κατ' ἄλλην ὁμοίωσιν. ἀνάγκη δ' ἴσως
δυνάμει τινὶ καὶ ὑπεροχῇ τῶν ἄλλων λαμβάνειν,
ὥσπερ ἂν εἰ τὸν θεόν· θεία γὰρ ἡ πάντων ἀρχή,
δι' ἧς ἅπαντα καὶ ἔστιν καὶ διαμένει. τάχα μὲν
οὖν ῥᾴδιον τὸ οὕτως ἀποδοῦναι, χαλεπὸν δὲ σα-
φεστέρως ἢ πειστικωτέρως. Τοιαύτης δ' οὔσης 5
τῆς ἀρχῆς, ἐπεί περ συνάπτει τοῖς αἰσθητοῖς, ἡ
δὲ φύσις ὡς ἁπλῶς εἰπεῖν ἐν κινήσει καὶ τοῦτ'
αὐτῆς τὸ ἴδιον, δῆλον ὡς αἰτίαν θετέον ταύτην
τῆς κινήσεως· ἐπεὶ δ' ἀκίνητος καθ' αὑτήν, φα-
νερὸν ὡς οὐκ ἂν εἴη τῷ κινεῖσθαι τοῖς τῆς φύ-

P codex Parisinus n. 1853
A Vaticanus n. 1302
B Bernensis 402
b Brandisii exemplum Berolini 1823 editum

1 τὰ om P 2 Πῶς Pb: ὡς A 3 πολυχεστέρα A 4 καὶ] ἢ A ὥς γε P, A: ὡς b ἀτακτότερα A 6 ταυτα P τὰ αὐτά A 9 ποτέρα Ab 12 fort. κεχωρισμένα ἑκάτερα sed cf. infra p. XI^{b}21 ἐν τούτοις πλέον 13 δ' οὖν P: οὖν Ab 15 δ' ὕστερα P: δὲ ὕστερα Ab ἀρχὰς τὰ δ' cf. Philippus Epinom. p. 983^{d} 984^{b} 16 ὥσπερ καὶ τὰ ἀΐδια τῶν φθαρτῶν ad superius membrum antecedens scriptor rettulisse uidetur itidem atque u. 7 ὡς ἀκινήτοις p. XI^{b}3 ἐν ᾗ … τοῖς φθαρτοῖς A 18 μόνοις Ab 20 ἀξιόχρεα PB^{2}: ἀξιοχρέα Ab 21 παντός] fort. αἴτιά τινος 22 δι' P: δ' A 23 περιτεθέντων A

2 ἔχειν B^{2}: ἔχε P, Ab οὐχ οὕτως γε] οὐχ' ὥστε P, Ab οὐχ οἷά τε Guil. Hoffmannus 3 αὐτοῖς b 6 εἰ δ'] … B^{2}: ἡ δὲ A^{1} ἡ δ' b 9 οὐσίαν suppleui licet non plane necessarium ἔχουσαν AB: ἐχούσας P 10 εἶναι P: … A^{1} εἶεν A^{2} 11 εἰ P: οἱ A 12 ἀμωςγέπως P εἴ τε κατ' ἀναλογίαν uitiose iterat A 16 ἐστίν P 17 πειστικωτέρως B: πιστικωτέρως PAb sed cf. Lobeckius ad Soph. Ai. 151

σεως αἰτία; ἀλλὰ λοιπὸν ἄλλῃ τινὶ δυνάμει κρείττονι καὶ προτέρᾳ· τοιαύτη δ' ἡ τοῦ ὀρεκτοῦ φύσις, ἀφ' ἧς ἡ κυκλικὴ ⟨κίνησις⟩ ἡ συνεχὴς καὶ ἄπαυστος. ὥστε καὶ ἐκεῖνο λύοιτο ἂν τὸ μὴ εἶναι
6 κινήσεως ἀρχὴν ἢ εἰ κινούμενον κινήσει. Μέχρι μὲν δὴ τούτων οἷον ἀρτίως ὁ λόγος, ἀρχήν τε ποιῶν μίαν πάντων καὶ τὴν ἐνέργειαν καὶ τὴν οὐσίαν ἀποδιδούς, ἔτι δὲ μὴ διαιρετὸν μηδὲ ποσόν τι λέγων ἀλλ' ἁπλῶς ἐξαίρων εἰς κρείττω τινὰ μερίδα καὶ θειοτέραν· οὕτω γὰρ μᾶλλον ἀποδοτέον ἢ τὸ διαιρετὸν καὶ μεριστὸν ἀφαιρετέον. ἅμα γὰρ ἐν ὑψηλοτέρῳ τε καὶ ἀληθινωτέρῳ λόγῳ τοῖς λέγουσιν ἡ ἀπόφασις.
II 7 τὸ δὲ μετὰ ταῦτ' ἤδη λόγου δεῖται πλείονος περὶ τῆς ἐφέσεως, ποία καὶ τίνων, ἐπειδὴ πλείω τὰ κυκλικὰ καὶ αἱ φοραὶ τρόπον τινὰ ὑπεναντίαι, καὶ τὸ ἀνήνυτον καὶ οὗ χάριν ἀφανές. εἴ τε γὰρ ἓν τὸ κινοῦν, ἄτοπον τὸ μὴ πάντα τὴν αὐτήν· εἴ τε καθ' ἕκαστον ἕτερον αἵ τ' ἀρχαὶ πλείους, ὥστε τὸ σύμφωνον αὐτῶν εἰς ὄρεξιν ἰόντων τὴν
8 ἀρίστην οὐθαμῶς φανερόν. τὸ δὲ κατὰ τὸ πλῆθος τῶν σφαιρῶν τῆς αἰτίας μείζονα ζητεῖ λόγον· οὐ γὰρ ὅ γε τῶν ἀστρολόγων. ἄπορον δὲ καὶ πῶς ποτε φυσικὴν ὄρεξιν ἐχόντων οὐ τὴν ἠρεμίαν διώκουσιν ἀλλὰ τὴν κίνησιν. τί οὖν ἅμα τῇ μιμήσει φασὶν ἐκεῖνο ὅσοι τε τὸ ἓν καὶ ὅσοι τοὺς ἀριθμοὺς λέγουσιν; καὶ γὰρ αὐτοὶ τοὺς ἀριθμούς φασιν τὸ ἕν. εἰ δ' ἡ ἔφεσις ἄλλως τε καὶ τοῦ ἀρίστου μετὰ ψυχῆς, εἰ μή τις λέγοι καθ' ὁμοιότητα καὶ μεταφοράν, ἔμψυχ' ἂν εἴη τὰ κινούμενα· ψυχῇ δ' ἅμα δοκεῖ καὶ κίνησις ὑπάρχειν (ζωὴ γὰρ τοῖς ἔχουσιν), ἀφ' ἧς καὶ αἱ ὀρέξεις πρὸς ἕκαστον, ὥσπερ καὶ τοῖς ζῴοις, ἐπεὶ καὶ αἱ αἰσθήσεις καίπερ ἐν τῷ πάσχειν οὖσαι δι' ἑτέρων ὅμως ἐμψύχοις γίνονται. εἰ δ' οὖν τῆς κυκλικῆς αἴτιον τὸ 9
πρῶτον, οὐ τῆς ἀρίστης ἂν εἴη· κρείττων γὰρ ἡ τῆς ψυχῆς, καὶ πρώτη δὴ καὶ μάλιστα ἡ τῆς διανοίας, ἀφ' ἧς καὶ ἡ ὄρεξις. τάχα δὲ καὶ τοῦτ' ἄν τις ἐπιζητήσειεν, διὰ τί τὰ κυκλικὰ μόνον ἐφετικά, τῶν δὲ περὶ τὸ μέσον οὐθὲν καίπερ κινητῶν ὄντων, πότερον ὡς ἀδύνατα ἢ ὡς οὐ διικνουμένου τοῦ πρώτου· ἀλλὰ τοῦτό γ' ἄτοπον, εἰ δι' ἀσθένειαν· ἰσχυρότερον γὰρ ἄν τις ἀξιώσειεν τοῦ Ὁμήρου Διός, ὅς φησιν

αὐτῇ κεν γαίῃ ἐρύσαιμ' αὐτῇ τε θαλάσσῃ.

ἀλλὰ λοιπὸν ὥσπερ ἄδεκτόν τι καὶ ἀσύνετον εἶναι. τάχα δὲ πρότερον ζητήσειεν ἄν τις πῶς ἔχει, πό- 10
τερα μέρη ταῦτα ἢ οὐ μέρη τοῦ οὐρανοῦ, καὶ εἰ μέρη, πῶς μέρη· νῦν γὰρ οἷον ἀπεωσμένα τῶν ἐντιμοτάτων οὐ μόνον κατὰ τὰς χώρας ἀλλὰ καὶ κατὰ τὴν ἐνέργειαν, εἴ περ ἡ κυκλικὴ τοιαύτη· λαμβάνει γὰρ οἷον κατὰ συμβεβηκὸς ὑπὸ τῆς κυκλικῆς περιφορᾶς καὶ εἰς τοὺς τόπους καὶ εἰς ἄλληλα τὰς μεταβολάς. εἰ δὲ καὶ τὸ ἄριστον ἀπὸ τοῦ ἀρίστου, κάλλιον ἄν τι παρὰ τοῦ πρώτου δέοι τῆς κυκλοφορίας, εἰ μὴ ἄρ' ἐκωλύετο τῷ μὴ δύνασθαι

b16 Hom. Il. Θ 24

1 ἄλλη P 2 φύσις ut ex nota marginali λύσις correctum suspectat Gercke 3 κίνησις supplendum putabam 4 ἄπαυτος P: ἄπαυστος Ab κατ' ἐκεῖνο P, Ab 12 ἅμαι P τε om A λόγω P 15 ποῖα PA 17 οὗ P 20 ὥστε P: de syntaxi cf. Bonitzius stud. Arist. 3, 106 (*Wiener sitzungsber.* 42, 72) sqq. 22 αἰτίας — λόγον cf. p. VIII b18 23 γὰρ ⟨ἀρκεῖ⟩ conieceram 24 ὄρεξιν P: ἕξιν A 25 ἅμαι P μιμήσει cf. p. XI b1 26 ἐκεῖνο P: ἐκεῖνο ὁμοίως A τὸ τὸ φυσικὴν ὄρεξιν ἔχοντα κινεῖσθαι. quod non monerem, nisi fuisset qui ἐκεῖνοι coniceret 28 εἰ δ' ἡ P: εἰ δὴ Ab

1 εἰ μή κτλ. cf. p. X a13 εἰ δὲ μή, ὁμώνυμα λέγει A 2 μεταφορὰν supra scr A[2] ut coniecerat Hampke coll. Arist. eth. Nic. v 15 p. 1138b 5: διαφορὰν PA[1]b eodem errore quo apud Dionysium Hal. de Thuc. 24 p. 868, 12 codex Ambrosianus διαφοραῖς exhibet pro μεταφοραῖς 3 ψυχὴ P ψυχῆ Ab ἅμαι P 4 καὶ ὀρέξεις itemque 5 καὶ αἰσθήσεις omisso articulo A 5 τοῖς ex τοῦ refecit P[1] ζῳδίοις· P 6 ἑτέροις A ὅμως P, Ab: fort scr μόνοις ἔμψυχοι PAb 8 κρείττων Ab: κρεῖττον P 9 τησφῆς sic P 13 exspectes ἀδυνάτων 17 αὐτῆ κεν γαίη· P 18 ἀσύνθετον PAb: conicias etiam ἀσύνδετον. refertur ad τὸ μέσον 20 οὔνου P: ὄνου A 23 λαμβάνει] συμβαίνει PAb: cf. p. X 28 25 περιφορᾶς P περιφορᾶ A 26 τὸ ἄριστον ἀπὸ τοῦ spatio ampliore uacuo relicto om A

δέχεσθαι· τὰ γὰρ δὴ πρῶτον καὶ θειότατον πάντα τὰ ἄριστα βουλόμενον. τάχα δὲ τοῦτο μὲν οἷον ὑπερβατόν τι καὶ ἀζήτητον· ἀξιοῖ γὰρ ὁ τοῦτο λέγων ἅπανθ' ὅμοια καὶ ἐν τοῖς ἀρίστοις εἶναι,
11 μικράν τιν' | ἢ μηδεμίαν ἔχοντα διαφοράν. τόδε δ' ἄν τις ἴσως ἀπορήσειεν πρὸς αὐτὸν τὸν πρῶτον οὐρανὸν ἀναφέρων, πότερον ἡ περιφορὰ τῆς οὐσίας ἐστὶν αὐτοῦ καὶ ἅμα τῷ πεπαῦσθαι φθείροιτ' ἄν, ἢ εἴ περ ἐφέσει τινὶ καὶ ὀρέξει, κατὰ συμβεβηκός· εἰ μὴ ἄρα σύμφυτον αὐτῷ τὸ ὀρέγεσθαι, καὶ οὐθὲν κωλύει τοιαῦτ' ἄττα τῶν ὄντων ὑπάρχειν. ἴσως δ' ἂν εἴη καὶ ἀφελόντα τὴν ὄρεξιν ὑπὲρ αὐτῆς τῆς κινήσεως ἀπορεῖν, εἰ ἀφαιρεθεῖσα φθείροι ἂν τὸν οὐρανόν. καὶ τοῦτο μὲν ὥςπερ ἑτέρων λόγων. ἀπὸ δ' οὖν ταύτης ἢ τούτων τῶν
III ἀρχῶν ἀξιώσειεν ἄν τις. τάχα δὲ καὶ ἀπὸ τῶν ἄλλων ἄρ', ἄν τις τίθηται τὰ ἐφεξῆς εὐθὺς ἀποδιδόναι καὶ μὴ μέχρι του προελθόντα παύεσθαι· τοῦτο γὰρ τελέου καὶ φρονοῦντος, ὅ περ Ἀρχύτας ποτ' ἔφη ποιεῖν Εὔρυτον διατιθέντα τινὰς ψήφους· λέγειν γὰρ ὡς ὅδε μὲν ἀνθρώπου ὁ ἀριθμός, ὅδε δὲ ἵππου, ὅδε δ' ἄλλου τινὸς τυγχάνει. νῦν δ' οἵ γε πολλοὶ μέχρι τινὸς ἐλθόντες κατα-
12 παύονται, καθά περ καὶ οἱ τὸ ἓν καὶ τὴν ἀόριστον δυάδα ποιοῦντες· τοὺς γὰρ ἀριθμοὺς γεννήσαντες καὶ τὰ ἐπίπεδα καὶ τὰ σώματα σχεδὸν τἄλλα παραλείπουσιν πλὴν ὅσον ἐφαπτόμενοι καὶ τοσοῦτο μόνον δηλοῦντες, ὅτι τὰ μὲν ἀπὸ τῆς ἀορίστου δυάδος, οἷον τόπος καὶ κενὸν καὶ ἄπειρον, τὰ δ' ἀπὸ τῶν ἀριθμῶν καὶ τοῦ ἑνός, οἷον ψυχὴ καὶ ἄλλ' ἄττα· [χρόνον δ' ἅμα καὶ οὐρανὸν καὶ ἕτερα δὴ πλείω] | τοῦ δ' οὐρανοῦ πέρι καὶ τῶν λοιπῶν οὐδεμίαν ἔτι ποιοῦνται μνείαν· ὡσαύτως δ' οἱ περὶ Σπεύσιππον, οὐδὲ τῶν ἄλλων οὐθεὶς πλὴν Ξενοκράτης· οὗτος γὰρ ἅπαντά πως περιτίθησιν περὶ τὸν κόσμον, ὁμοίως αἰσθητὰ καὶ νοητὰ καὶ μαθηματικὰ καὶ ἔτι δὴ τὰ θεῖα. πειρᾶται δὲ καὶ 13
Ἑστιαῖος μέχρι τινός, οὐχ ὥςπερ εἴρηται περὶ τῶν πρώτων μόνον. Πλάτων μὲν οὖν ἐν τῷ ἀνάγειν εἰς τὰς ἀρχὰς δόξειεν ἂν ἅπτεσθαι τῶν ἄλλων εἰς τὰς ἰδέας ἀνάπτων, ταύτας δ' εἰς τοὺς ἀριθμούς, ἐκ δὲ τούτων εἰς τὰς ἀρχάς, εἶτα κατάγων τὴν γένεσιν μέχρι τῶν εἰρημένων· οἱ δὲ τῶν ἀρχῶν μόνον. ἔνιοι δὲ καὶ τὴν ἀλήθειαν ἐν τούτοις· τὰ γὰρ ὄντα μόνον περὶ τὰς ἀρχάς. συμβαίνει δὲ τοὐναντίον ἢ ἐν ταῖς ἄλλαις μεθόδοις· ἐν ἐκείναις γὰρ τὰ μετὰ τὰς ἀρχὰς ἰσχυρότερα καὶ οἷον τελεώτερα τῶν ἐπιστημῶν. τάχα δὲ καὶ εὐλόγως· ἔνθα μὲν γὰρ τῶν ἀρχῶν, ἐν δὲ ταῖς λοιπαῖς ἀπὸ τῶν ἀρχῶν ἡ ζήτησις.

Πῶς δέ ποτε χρὴ καὶ ποίας τὰς ἀρχὰς ὑπο- 14 IV
θέσθαι, τάχ' ἂν ἀπορήσειέν τις, πότερον ἀμόρφους καὶ οἷον δυναμικάς, ὥςπερ ὅσοι πῦρ καὶ γῆν, ἢ μεμορφωμένας, ὡς μάλιστα δέον ταύτας ὡρίσθαι, καθά περ ἐν τῷ Τιμαίῳ φησίν· τοῖς γὰρ τιμιωτάτοις οἰκειότατον ἡ τάξις καὶ τὸ ὡρίσθαι.

20 cf. Aristot. met. N 5 p 1092 b10
b27 Plato Timaei p. 30a

3 τι PA: τε B 4 εἶναιμικραν P: μικρὰν εἶναι A 5 τιν: P τινα Ab 8 ἅμαι τῷ P 11 ὀυθὲν P: οὐδὲν A τοιαυτάττα A τοιαυτ'αττι P 14 φθειροι P: φθείροιτ' A 15 ἀπο P: αὐτὸ A 16 ἄξι ὡσ εἰ ἐν ἀν P 17 ἄρρ' ἂν A τίθηται P: τιθῆται Ab τὰ P: τὰς A ἐφεξῆς P 18 του προελθόντα P: τοῦ προελθόντος A 19 τέλεου sic P ὅπερ P: ὅπως A 21 λέγει Gruppius De Archyta p. 37 cum Camotio 22 ὅδε δε ἵππου P: om A 26 τὰ ἄλλα P cf. p. VII a6: τἄλλα A
3 ἄλλ' αττα: P ἄλλά τα A χρόνον . . . 4 πλείω ad u. a27 παραλείπουσιν pertinent, neque hoc loco neque simul cum proximo enuntiato tolerabilia. cf. infra p. VIIa 15 δ'] fort. θ' ἅμαι P 4 πέρι P: περὶ A 5 οὐδεμίαν] οὐδεμένων A δ' οἱ PA: δ' οὐδὲ οἱ b 7 πὲριτίθησιν P. an scrib διατίθησιν? 10 τινοσσ P 11 μόνων A 14 ἀργάσ· P κατάγων] κατα P κατὰ Ab. restitui contrarium uerbo ἀνάγειν u. 11 16 μόνον PA: μόνων B 19 ἐκείναις Camotius: ἐκείνοις PAb 23 καὶ ποίασ P: ὁποίας A ut in Philippi Epinom. p. 974c πότε ὅπως cod. Parisinus tradit pro πότε καὶ πῶς

φαίνεται δὲ καὶ ἐν ταῖς λοιπαῖς σχεδὸν ἔχειν οὕτω, καθάπερ ἐν γραμματικῇ καὶ μουσικῇ καὶ ταῖς μαθηματικαῖς, συνακολουθεῖν δὲ καὶ τὰ μετὰ τὰς ἀρχάς· ἔτι δὲ καὶ κατὰ τὰς τέχνας ὁμοίως, αἵ περ τὴν φύσιν μιμοῦνται, καὶ τὰ ὄργανα | καὶ τὰ ἄλλα κατὰ τὰς ἀρχάς. οἱ μὲν οὖν ἐμμόρφους πάσας, οἱ δὲ μόνον τὰς ὑλικάς, οἱ δ' ἀμφοτέρως τάς τ' ἐμμόρφους καὶ τὰς τῆς ὕλης, ὡς ἐν ἀμφοῖν
15 τὸ τέλεον ⟨ὄν⟩· οἷον γὰρ ἐξ ἀντικειμένων τὴν
Ci 311v ἅπασαν οὐσίαν. ἄλογον δὲ κἀκεῖνο δόξειεν ἄν, εἰ ὁ μὲν ὅλος οὐρανὸς καὶ ἕκαστα τῶν μερῶν ἅπαντ' ἐν τάξει καὶ λόγῳ, καὶ μορφαῖς καὶ δυνάμεσιν καὶ περιόδοις, ἐν δὲ ταῖς ἀρχαῖς μηθὲν τοιοῦτον, ἀλλ' ὥσπερ σάρον εἰκῆ κεχυμένων ὁ κάλλιστος, φησὶν Ἡράκλειτος, κόσμος. [καὶ κατὰ τοὐλάχιστον δ' ὡς εἰπεῖν λαμβάνουσιν ὁμοίως ἐν ἀψύχοις καὶ ἐμψύχοις· ὡρισμέναι γὰρ ἑκάστων αἱ φύσεις ὡς εἰπεῖν καίπερ αὐτομάτως γινομένων, τὰς δ' ἀρχὰς ἀορίστους εἶναι.] χαλεπὸν δὲ πάλιν αὖ τὸ τοὺς λόγους ἑκάστοις περιθεῖναι πρὸς τὸ ἕνεκά του συνάγοντας ἐν ἅπασι καὶ ἐν ζῴοις καὶ φυτοῖς καὶ ἐν αὐτῇ πομφόλυγι, πλὴν εἰ συμβαίνει τῇ ἀστέρων τάξει καὶ μεταβολῇ μορφάς τε παντοίας καὶ ποικιλίας γίνεσθαι τῶν περὶ τὸν ἀέρα καὶ τὴν γῆν· ὧν δὴ μέγιστόν τινες παράδειγμα ποιοῦνται τὰ περὶ τὰς ὥρας τὰς ἐτησίους, ἐν αἷς καὶ ζῴων καὶ φυτῶν καὶ καρπῶν γενέσεις, οἷον γεννῶντος τοῦ ἡλίου. καὶ ταῦτα μὲν ἐνταῦθά που ζητεῖ τὴν σκέψιν ἀφορισμὸν ἀπαιτοῦντα μέχρι πόσου τὸ τεταγμένον, καὶ διὰ τί τὸ πλέον ἀδύνατον ἢ εἰς τὸ χεῖρον ἡ μετάβασις.

Ἐπὶ μὲν δὲ ταῖς ἀρχαῖς, ὅθεν δὴ καὶ ὁ πρῶτος λόγος, 16 V
εἰκότως ἄν τις καὶ τὸ περὶ τῆς ἠρεμίας ἀπορήσειεν. εἰ μὲν γὰρ ὡς βέλτιον, ἀνάψειεν ἂν ταῖς ἀρχαῖς· εἰ δ' ὡς ἀργία καὶ στέρησίς τις κινήσεως, οὐκ ἀνάψει, ἀλλ' εἴ περ τὴν ἐνέργειαν ἀντικαταλλακτέον ὡς προτέραν καὶ τιμιωτέραν, τὴν δὲ κίνησιν [ἐν] τοῖς αἰσθητοῖς· ἐπεὶ τό γε διὰ τοῦτ' ἠρεμεῖν ὡς ἀδύνατον τὸ ἀεὶ κινοῦν εἶναι τὸ κινούμενον· οὐ γὰρ ἂν εἴη πρῶτον, κίνδυνος μὴ λογῶδες, καὶ ἄλλως οὐκ ἀξιόπιστον, ἀλλὰ μείζω τινὰ αἰτίαν ζητεῖ. δοκεῖ δὲ ἡ αἴσθησις τρόπον τινὰ συναυδᾶν ὡς ἐνδεχόμενον μὴ δὴ τὸ κινοῦν ἕτερον εἶναι καὶ ὃ κινεῖται διὰ τὸ ποιοῦν 81 IIv
καὶ πάσχειν· ἔτι δ' ἐάν τις ἐπ' αὐτὴν ἀνάγῃ τὸν νοῦν καὶ τὸν θεόν. ἄτοπον δὲ καὶ τὸ ἕτερον λα-

15 Heraclitus p. 19 (ad fr. 46) Bywateri

2 ἐν] ἢ PAb γραμματικὴ· καὶ μουσική· P, Ab: corr Wimmer 3 συνακολουθεῖ P συνακολουθεῖ Ab 4 κατὰ τέχνας A 6 ἐνμόρφους P εὐμόρφους A 8 τ' ἐμμόρφους P: τε ἀμόρφους A 9 τέλειον A ὂν supplevi 10 κακείνοις P, Ab: corr Bergkius Opusc. phil. t. II p. 302 12 ἅπαντ' ἐν P: ἅπαντα τὰ ἐν [illegible] post λόγῳ distinxi, ut intellegatur sequentia nomina prioribus duobus non iuxta poni sed causam ac rationem subicere 14 σάρον Iac. Bernaysius: σὰρξ PAb σωρὸς conieceram coll. Aristot. met. Η 6 p. 1045 a 9 Ζ 17 p. 1041 b 12, Bergkianas coniecturas uide Opusc. ph. II p. 303 et 739. illud quod sagacissime Bernaysius inuenit scio plerumque scopas significare, sed Iuno Callimachi h. in Delo 225 Ἀστερίη πόντοιο κακὸν σάρον purgamentum maris insulam dixit, non κάλλυντρον ut scholiasta interpretatur. cf. Phrynichus p. 83 Lob. εἰκῆ P κεχυμένων PAb 15 κόσμος [illegible] Wimmer: ὁ κόσμος PAb [illegible] 19 εἶναι seclusi non ut spuria sed ut delicta ex altera proximae sententiae (… 10—15) eaque ampliore forma 16 τοὐλάχιστου P τὰ τοὐλάχιστον [illegible]: corr Brandis iussu 18 γεινομένων P 20 αὖ τὸ Zeller: αὐτὸ PAb 21 συναγόνας A 22 ζώιοις P 23 συμβαίνει [illegible] ἀστέρων] ἑτέρων PAb μεταβωλῆι P μορφὰς τε P μορφὰς τὰς A: μορφὰς b

1 τῶν PA: τῶν τε b 3 ποιοῦντες A^1 ἐτησιους P ἐτείους Ab 4 ζώιων P 6 ποῦ post ζητεῖ traicit A ἀφωρισμὸν A 8 τί πλέον sine articulo A ἢ B^2: εἰ P εἰ A ἡ Aldus ἡ om A sed cf. p. VIII 15 9 ἀρχαῖς ex ἀρχὰς corr P^1 12 ἀρχαῖς P [illegible] τις P: τῆς Ab 13 ἐνέργειαν τι[illegible] A) μεταλλακτέον PA ἐνέργειαν ἀντιμεταλλακτέον b 14 [προ]τέραν cum rasura ex περτέραν corr P^1 15 ἐν exclusi, datiuus ad ἀνάψει referatur 16 τὸ κινούμενον] τὸ κινοῦν PAb τὸ κινοῦν ἄτοπον Wimmer 17 πρῶτον κίνδυνος P: κίνδυνος ἴσως supra scr A^2 πρῶτον A^1 18 λογῶδες P^1 λογοειδὲς Ab 19 δε ἡ P: δὲ καὶ ἡ Ab 20 δὴ Ab: δεῖ P ἀεὶ Wimmer 21 κινεῖται interpres: κινεῖ PAb ποιοῦν] ποιεῖν PAb 22 ἔτι [illegible] ante [illegible] δ' ἐάν P: δὲ ἂν Ab ἄγηι P an scr ἀνάγῃ? 23 καὶ ante τὸν θεὸν deleuit Camotius

χειν, ὡς οὐ κινοῦνται τὰ ὀρεγόμενα τοῦ ἠρεμοῦντος· τί γὰρ ἂν ταῖς οὖσιν ἀκολουθοίη τῶν ἄλλων; πλὴν ἴσως οὐχ ὁμοίως ληπτέον ὡς εἰς τὰ ἀμερῆ ἄγοντας, ἀλλ' ὅπως ὅ τι μάλιστα σύμφωνον ἔσται καὶ ἀπηρτισμένον ὡς ἂν πόλις ἢ ζῷον ἢ ἄλλο τι τῶν μεριστῶν ἢ καὶ ὁ ὅλος οὐρανός, ὃν δή φασιν εἶναι τελεώτατον.

VI 17 Ἐπιποθεῖ δέ τινα καὶ τὰ τοιάδε λόγον, πῶς ποτε τῶν ὄντων ὁ μερισμὸς εἰς ὕλην καὶ μορφήν, πότερον ὡς τὸ μὲν ὄν, τὸ δὲ μὴ ὄν, δυνάμει δ' ὄν, καὶ ἀγόμενον εἰς ἐνέργειαν, ἢ ὂν μὲν ἀόριστον δὲ καθάπερ ἐν ταῖς τέχναις. εἰ δὲ γένεσις ἡ οὐσία ἀφ' αὐτῶν τῷ μορφοῦσθαι κατὰ τοὺς λόγους· ἀλλ' οὕτω γ' εἰς μὲν τὸ βέλτιον τάχ' ἂν ἡ μετάβασις εἴη, τὸ δ' εἶναι οὐθὲν ἂν ἧττον ἀληθὲς ὑπάρχον κατ' αὐτήν (οὐ γὰρ ἂν οὐδὲ γίνοιτο μὴ ὑπαρχούσης), ἀλλὰ τὸ μήτε τόδε μήτε ποιὸν μήτε ποσόν, ὡς ἀόριστον τοῖς εἴδεσιν, δύναμιν δέ τιν' ἔχον, ὅλως δὲ κατ' ἀναλογίαν ληπτέον ἐστὶ τὰς τέχνας καὶ εἴ τις ὁμοιότης ἄλλη.

VII 18 Δόξειεν δ' ἂν καὶ τοῦτ' ἔχειν ἀπορίαν· εἰ μὴ ἄρα περιεργίαν τοῦ ζητεῖν, τί δή ποτε ἡ φύσις καὶ ἡ ὅλη δ' οὐσία τοῦ παντὸς ἐν ἐναντίοις ἐστίν, καὶ σχεδὸν ἰσομοιρεῖ τὸ χεῖρον τῷ βελτίονι, μᾶλλον δὲ καὶ πολλῷ πλέον ἐστίν, ὥστε δοκεῖν καὶ Εὐριπίδην καθόλου λέγειν ὡς οὐκ ἂν γένοιτο χωρὶς ἐσθλά. ὁ δὲ τοιοῦτος λόγος ἐγγὺς τοῦ ζητεῖν ὅ τι οὐ πάντ' ἀγαθὰ οὐδὲ πάντα ὅμοια, καὶ ὅτι κατὰ πάντων μὲν τὸ εἶναι λέγομεν, οὐθὲν δὲ ὅμοιον ἀλλήλοις καθάπερ τὰ λευκὰ καὶ μέλανα, ἐν αὐτοῖς. ἔτι δὲ τὸ δοκοῦν παραδοξότερον, ὡς οὐχ οἷόν τε τὸ ὂν ἄνευ τῶν ἐναντίων· οἱ δ' ἔτι πλέονι τῷ παραδόξῳ χρώμενοι καὶ τὸ μὴ ὂν μηδὲ γεγονὸς μηδὲ μέλλον προσκαταριθμοῦσιν εἰς τὴν τοῦ παντὸς φύσιν. ἀλλ' ἥδε μὲν οἷον ὑπερβατός τις σοφία.

VIII 19 Τὸ δὲ ἂν ὅτι πολλαχῶς, φανερόν· ἡ γὰρ αἴσθησις καὶ τὰς διαφορὰς θεωρεῖ καὶ τὰς αἰτίας ζητεῖ· τάχα δ' ἀληθέστερον εἰπεῖν ὡς ὑποβάλλει τῇ διανοίᾳ, τὰ μὲν ἁπλῶς ζητοῦσα, τὰ δ' ἀπορίας ἐνεργαζομένη, δι' ἧς, κἂν μὴ δύνηται προβαίνειν, ὅμως ἐμφαίνεταί τι φῶς ἐν τῷ μὴ φωτὶ ζητούντων ἐπὶ πλέον. τὸ ἐπίστασθαι ἄρα οὐκ ἄνευ διαφορᾶς τινος· ἥ τε γὰρ ἑτέρα ἀλλήλων, διαφορά τις ἐν τοῖς καθόλου πλειόνων ὄντων, τῶν ὑπὸ τὰ καθόλου διαφέρειν ἀνάγκη καὶ ταῦτα, ἐάν τε γένη τὰ καθόλου ἐάν τ' εἴδη. σχεδὸν δὲ καὶ ἐπιστήμη πᾶσα τῶν ἰδίων· ἥ τε γὰρ οὐσία καὶ τὸ τί ἦν εἶναι καθ' ἕκαστον ἴδιον, τά τε θεωρούμενα καθ' ἑαυτὰ καὶ οὐ κατὰ συμβεβηκὸς ἦν ἄν τι κατά τινος. ὁμοίως δὲ τὰ ἐν πλείοσιν τι αὐτὸ συνιδεῖν ἐπιστήμης, ἤτοι κοινῇ καὶ καθόλου λεγόμενον ἢ ἰδίᾳ πως καθ' ἕκαστον, οἷον ἀριθμοῖς γραμμαῖς ζῴοις φυτοῖς· τέλος δ' ἡ ἐξ ἀμφοῖν. ἔστιν δ'

26 Euripides Aeolo fr. 21, 3 N. — b6—8 Democritum tangit cf. φυσ. δοξ. fr. 8 p. 483, 19. 484, 12. 16 Diels.

1 κινοῦνται interpres: μιμοῦνται PAb 2 τί γὰρ ἂν τοῖς] εἰ γὰρ [illegible] PAb ἀκολουθεῖ ἡ P ἀκολουθεῖ Ab: corr Sylburgius 5 ζῶιον P ἡ αλλο P ἢ καὶ ἄλλο A 6 ἢ] ἡ P ἢ Ab καὶ ὅλος sine articulo A [illegible] δε τίνα P 11 δ' ἐν P δ' ἓν Ab: ὂν B² mg. 12 ἀόριστον δέον καθάπερ A [illegible] ἡ δε P, Ab 13 γ' P: γε Ab τῷ] τὸ A [illegible] τάχα ἂν A ἀθὲν ἂν A 16 καθ' αὐτὴν A 17 οὐδὲ] οὐτ' ἐν ex codice nescio quo B. [illegible] memorat γίνοιτο PA: γίγνοιτο b 19 δύναμειν A τιν' sine apostropho P 20 ἐστι] ἐπὶ P, b [illegible] τις] ἤ τις P 22 τοῦ ζητεῖν perperam iterat P 24 ἐν om A 25 πολλῷ P 26 εὐριπίδης A οὐ[κ] cum rasura ex οὐδ' P¹

3 καὶ τὰ μέλανα A 4 δὲ καὶ τὸ A 7 μηδ]ὲν cum litura (ο ex ω) P¹ 9 ὑπερβατός τις P 12 ὑπερβάλλει A 13 διανοίαι cum genuina diphthongo scribit P 14 ἐνεργαζομένη P: ἐργαζομένη Ab [illegible] παραβαίνειν A [illegible] διαφοράς τινος P [illegible] εἴτε Ab 18 ὄντων sic P 19 τὰ κ]αθόλου cum litura P 20 γένη [illegible] εἴδη (ἴδη m. pr.) A: γένει [illegible] εἴδει Pb ἐάν τ' P: ἐάν τε Ab 23 ἑαυτὰ P, A [illegible] 24 ὁμοίως] ὅλως P, ὅλως Ab [illegible] πλείωσιν [illegible] 25 κοινῇ P [illegible] λέγομεν A 26 ἰδία πω P, A 27 ζώιοισ P [illegible] τέλεος δ' ἡ P: τέλος [illegible] sine articulo Ab

ἔνθα τῶν μὲν καθόλου τέλος (ἐν τούτῳ γὰρ τὸ
αἴτιον), τῶν δὲ κατὰ μέρος, καθ' ὅσα ἡ διαίρεσις
εἰς τὰ ἄτομα, καθάπερ ἐν τοῖς πρακτοῖς καὶ ποι-
21 ητοῖς· οὕτως γὰρ αὐτῶν ἡ ἐνέργεια. ταὐτῷ δὴ ἐπι-
στάμεθα καὶ οὐσίᾳ καὶ ἀριθμῷ καὶ εἴδει καὶ γένει
καὶ ἀναλογίᾳ καὶ εἰ ἄρα παρὰ ταῦτα διαιρέσει·
διὰ πλείστου δὲ τῷ κατ' ἀναλογίαν ὡς ἂν ἀπέ-
χοντες πλεῖστον, τὰ μὲν δι' ἡμᾶς αὐτούς, τὰ δὲ
διὰ τὸ ὑποκείμενον, τὰ δὲ διὰ τἄμφω.
22 Πλεοναχῶς δ' ὄντος τοῦ ἐπίστασθαι, πῶς ἕκα-
στα μεταδιωκτέον, ἀρχὴ καὶ μέγιστον ὁ οἰκεῖος
τρόπος, οἷον τὰ πρῶτα καὶ νοητά, καὶ τὰ κινητὰ
καὶ ὑπὸ τὴν φύσιν, αὐτῶν τε τούτων τὰ ἐν ἀρχῇ
καὶ ⟨τὰ⟩ ἑπόμενα μέχρι ζῴων καὶ φυτῶν καὶ ἐσχά-
των τῶν ἀψύχων· ἔστιν γάρ τι καθ' ἕκαστον γέ-
23 νος ἴδιον, ὥσπερ καὶ ἐν τοῖς μαθηματικοῖς. ἔχει
δὲ καὶ αὐτὰ τὰ μαθήματα διαφορὰν καίπερ ὁμο-
γενῆ πως ὄντα, διῄρηται δ' ἱκανῶς. εἰ δὲ καὶ ἔνια
γνωστὰ τῷ ἄγνωστα εἶναι, καθάπερ τινές φασιν,
ἴδιος ἂν ὁ τρόπος εἴη, διαιρέσεως δέ τινος δεῖ-
ται· τάχα δὲ ἐφ' ὧν ἐνδέχεται κατ' ἀναλογίαν οἰ-
κειότερον λέγειν ἢ αὐτῷ τῷ ἀγνώστῳ, καθάπερ
εἴ τις τῷ ἀοράτῳ τὸ ὁρατόν. πόσοι δ' οὖν τρό-
24 ποι καὶ ποσαχῶς τὸ εἰδέναι, πειρατέον διελεῖν. ἡ
δ' ἀρχὴ πρὸς αὐτὰ ταῦτα καὶ πρῶτον τὸ ἀφορί-
σαι τί τὸ ἐπίστασθαι. χαλεπώτερον δ' ἂν δόξειεν·
οὐ γὰρ οἷόν τε καθόλου καὶ κοινόν τι λαβεῖν ἐν

τοῖς πλεοναχῶς λεγομένοις. ἐν ἑτέροις καὶ τοῦτ'
ἄπορον ἢ οὐ ῥᾴδιον τὸ εἰπεῖν μέχρι πόσου καὶ
τίνων ζητητέον αἰτίας ὁμοίως ἔν τε τοῖς αἰ-
σθητοῖς καὶ νοητοῖς· ἡ γὰρ εἰς τὸ ἄπειρον ὁδὸς
ἐν ἀμφοῖν ἀλλοτρία καὶ ἀναιροῦσα τὸ φρονεῖν.
ἀρχαὶ δὲ τρόπον τινὰ ἀμφότερα, τάχα δὲ τὰ μὲν ἡμῖν
ἢ τὰ δ' ἁπλῶς, ἢ τὸ μὲν τέλος, ἡ δ' ἡμετέρα τις
ἀρχή. μέχρι μὲν οὖν τινὸς δυνάμεθα δι' αἰτίου 25
θεωρεῖν ἀρχὰς ἀπὸ τῶν αἰσθήσεων λαμβάνοντες·
ὅταν δὲ ἐπ' αὐτὰ τὰ ἄκρα καὶ πρῶτα μεταβαίνω-
μεν, οὐκέτι δυνάμεθα, εἴ τε διὰ τὸ μὴ ἔχειν αἰ-
τίαν εἴ τε διὰ τὴν ἡμετέραν ἀσθένειαν, ὥσπερ
πρὸς τὰ φωτεινότατα βλέποντες. τάχα δ' ἐκεῖνο
ἀληθέστερον ὡς αὐτῷ τῷ νῷ τῶν τοιούτων ἡ
θεωρία θιγόντι καὶ οἷον ἁψαμένῳ, διὸ καὶ οὐκ
ἔστιν ἀπάτη περὶ αὐτά. χαλεπὴ δὲ καὶ εἰς αὐτὸ 26
τοῦθ' ἡ σύνεσις καὶ ἡ πίστις, ἐπεὶ καὶ ἄλλως μέγα
καὶ πρὸς τὰς καθ' ἕκαστα πραγματείας ἀναγκαῖον
καὶ μάλιστα τὰς μεγίστας, ἐν τίνι ποιητέον τὸν
ὅρον, οἷον περὶ τὰς τῆς φύσεως καὶ περὶ τὰς ἔτι
προτέρας. οἱ γὰρ ἁπάντων ζητοῦντες λόγον ἀναι-
ροῦσιν λόγον, ἅμα δὲ καὶ τὸ εἰδέναι· μᾶλλον δ'
ἀληθέστερον εἰπεῖν ὅτι ζητοῦσιν ὧν οὐκ ἔστιν
οὐδὲ πέφυκεν. * * * ὅσοι τὸν οὐρανὸν ἀΐδιον ὑπο-
λαμβάνουσιν, ἔτι δὲ τὸ κατὰ τὰς φορὰς καὶ τὰ 27
μεγέθη καὶ τὰ σχήματα καὶ τὰς ἀποστάσεις καὶ
ὅσα ἄλλα ἀστρολογικὰ δεικνῦσιν· τούτοις καταλοι-

1 ἔνθα] ἔνια P, Ab. Wimmerus ἐνίων μὲν τὸ καθόλου scripserat 4 ταυτωι P: ταυτὸ A, b. de structura cf. p. VII 12 5 οὐσία P εἴδει et 6 ἀναλογία P 6 διαιρέσεις A 7 τῷ] το P, Ab 9 τάμφω P 10 ἕκαστα P: ἕκαστον Ab 13 καὶ ὑπὸ P, A: καὶ τὰ ὑπὸ b ex codice Laurentiano 14 καὶ τὰ etiam Wimmer: καὶ PAb ζώιων P 16 ἔχει [illegible] 18 ἱκανῶς superflua post sententiam antecedentem haud scio an pro diuersa eiusdem forma habenda sint 17 ὁμοιογενῆ A 19 γνωστ P sed idem ἄγνωστ et 22 ἀγνώστῳ P 23 τὸ ἀόρατον [illegible] 24 εἰδέ[ναι] cum rasura (ex εἰδέειν?) P¹ 26 τί [illegible] in margine σημείωσαι P
1 [illegible] καὶ P. Ab. hiatum indicaui, quo certum est (cf. u. 3 ζητητέον αἰτίας) definitionem scientiae [illegible] cf. Arist. met A 3 φανερὸν ὅτι τῶν ἐξ ἀρχῆς αἰτίων δεῖ λαβεῖν ἐπιστήμην· τότε γὰρ εἰδέναι φαμὲν ἕκαστον ὅταν τὴν πρώτην αἰτίαν οἰώμεθα γνωρίζειν et quae attulimus Rhein. Mus. XVI p. 271. fortasse coeperat scriptor ἡγούμεθ' οὖν ἐπίστασθαι κτλ. 2 γε P: τὲ A 6 ἀρχαι ex ἀρχας corr P¹: ἀρχὴ A 8 τίνος P 9 λαμβάνονται A 10 μεταβαίνωμεν A 13 φωτεινότατα A βλέποντες] βλέπειν P, Ab 14 τῶν τοιούτων P: om Ab 15 θίγοντι PAb 19 ἐν τίνι b: ἔν τι (sed spiritum ex corr) A 20 περί τε τῆς PAb 21 οἱ γὰρ P: εἰ γὰρ A 22 [illegible] P καὶ το P, b: τὸ [illegible] 24 πέφυκεν [illegible] P A. hiatum indicaui. hoc fere Th. dixerat: finem sane statuendum esse, sed tamen quoniam scientia in causarum nexu explicando posita esset, hoc ipsum causarum studium omitti non posse, cuius rei exemplum hoc subiunxerat quod seruatum est, quamquam fieri potest, ut illis omissis Th. scripserit τοῖς οὖν (pro ὅσοι) 27 ἀστρολογία PAb δεικνῦσιν P; δείκνυσι Ab καταλοιπὸν erasura [illegible] A

πον τά τε πρῶτα κινοῦντα καὶ τὸ τίνος ἕνεκα λέγειν καὶ τίς ἡ φύσις ἑκάστου καὶ ἡ πρὸς ἄλληλα θέσις καὶ ἡ τοῦ συμπαντος οὐσία καὶ ὑποβαίνοντι δὴ πρὸς τὰ ἄλλα καθ' ἕκαστον τῶν εἰδῶν ἢ μορίων ἄχρι ζῴων καὶ φυτῶν. ἐπεὶ οὖν ἀστρολογία συνεργεῖ μὲν οὐκ ἐν τοῖς πρώτοις δὲ τῆς φύσεως, ἕτερα τὰ κυριώτατ' ἂν εἴη καὶ πρότερα· καὶ γὰρ οὐδ' ὁ τρόπος, ὡς οἴονταί τινες, οὐ φυσικὸς [illegible], καίτοι τό γε κινεῖσθαι καὶ ἁπλῶς τῆς φύσεως οἰκεῖον καὶ μάλιστα τοῦ οὐρανοῦ. διὸ καὶ εἰ ἐνέργεια τῆς οὐσίας ἑκάστου καὶ τὸ καθ' ἕκαστον ὅταν ἐνεργῇ καὶ κινῆται, καθάπερ ἐν τοῖς ζῴοις καὶ φυτοῖς (εἰ δὲ μή, ὁμώνυμα), δῆλον ὅτι κἂν ὁ οὐρανὸς ἐν τῇ περιφορᾷ κατὰ τὴν οὐσίαν εἴη, χωριζόμενος δὲ καὶ ἠρεμῶν ὁμώνυμος· οἷον
28 γὰρ ζωή τις ἡ περιφορὰ τοῦ παντός. ἆρ' οὖν εἴ γε μηδ' ἐν τοῖς ζῴοις τὴν ζωὴν ἢ ὡδὶ ζητητέον οὐδ' ἐν τῷ οὐρανῷ καὶ τοῖς οὐρανίοις τὴν φορὰν ἢ τρόπον τινὰ ἀφωρισμένον; συνάπτει δέ πως ἡ [illegible] ἀπορία καὶ πρὸς τὴν ἐκ τοῦ ἀκινήτου κίνησιν.

IX Ὑπὲρ δὲ τοῦ πάνθ' ἕνεκά του καὶ μηδὲν μάτην, ἄλλως τ' ὁ ἀφορισμὸς οὐ ῥᾴδιος, καθάπερ πλεονάκις λέγεται (πόθεν δ' ἄρξασθαι χρὴ καὶ εἰς ποῖα τελευτᾶν), καὶ δὴ ἔνια δοκεῖν μὴ ἔχειν οὕτως, ἀλλὰ τὰ μὲν συμπτωματικῶς τὰ δ' ἀνάγκῃ τινί, καθάπερ ἔν τε τοῖς οὐρανίοις καὶ ἐν τοῖς
29 περὶ τὴν γῆν πλείοσιν. τίνος γὰρ ἕνεκα αἱ ἔφοδοι καὶ ἀνάρροιαι θαλάττης ἢ τίνος αἱ προχωρήσεις ⟨καὶ ἀναχωρήσεις⟩ ἢ ἀναξηράνσεις καὶ ὑγρότητες καὶ ὅλως πρὸς ἄλλοτ' ἄλλα μεταβολαὶ καὶ φθοραὶ καὶ γενέσεις, [ἢ αἱ μὲν ἐν αὐτῇ τῇ γῇ ἀλλοιώσεις καὶ μεταβολαὶ γίνονται πρὸς ἄλλοτ' ἄλλο μεθισταμένων] καὶ ἕτερα δ' οὐκ ὀλίγα παρόμοια τούτοις; ἔτι δ' ἐν αὐτοῖς τοῖς ζῴοις τὰ μὲν ὥσπερ μάταια, καθάπερ τοῖς ἄρρεσιν οἱ μαστοὶ καὶ τοῖς θήλεσιν ἡ πρόεσις, εἴπερ μὴ συμβάλλεται, καὶ πώγωνος δ' ἐνίοις ἢ ὅλως τριχῶν ἔκφυσις ἔν τισιν τόποις· ἔτι δὲ κεράτων μεγέθη καθάπερ τῶν ἐλάφων [illegible] καὶ λελυ[illegible]μένων κνήσει γε καὶ παραιωρήσει καὶ ἐπιπροσθήσει τῶν ὀμμάτων· καὶ ὡς ἔνια ἐν βίᾳ ἢ παρὰ φύσιν, ὥσπερ ὁ ἐρωδιὸς ὀχεύει καὶ τὸ ἡμερόβιον ζῇ, καὶ ἕτερα δ' οὐκ ὀλίγα λάβοι τις ἂν τοιαῦτα. 30 καὶ τὸ μέγιστον δὴ καὶ μάλιστα δοκοῦν περὶ τὰς τροφὰς καὶ γενέσεις τῶν ζῴων· οὐθενὸς γὰρ ταῦθ' ἕνεκα ἀλλὰ συμπτώματα καὶ δι' ἑτέρας ἀνάγκας. ἔδει γὰρ εἴπερ τούτου χάριν, ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως. ἔτι δ' ἐν τοῖς φυτοῖς καὶ μᾶλλον τοῖς ἀψύχοις ὡρισμένην τιν' ἐχούσῃ φύσιν, ὥσπερ δοκοῦσιν, καὶ μορφαῖς καὶ εἴδεσιν καὶ δυνάμεσιν, τίνος ἕνεκα ταῦτα ζητήσειεν ἄν τις. αὐτὸ γὰρ τοῦτο ἄπορον τὸ μὴ ἔχειν λόγον· καὶ ταῦτ' ἐν ἑτέροις μὴ προσοῦσαν προτέροις καὶ τιμιωτέροις. ἢ καὶ ἔοικεν ὁ λόγος ἔχειν τι πιστόν, ὡς ἄρα τῷ αὐτο[illegible] ταῦτα καὶ τῇ τοῦ ὅλου περιφορᾷ λαμβάνει τινὰς ἰδέας ἢ πρὸς ἄλ-

[illegible] 28 τινές [illegible] Epicurum [illegible] cf. ep. [illegible] 11 [illegible]

[illegible] τά τε [illegible] b: ταῦτα (αὐτὰ [illegible]) δὲ τὰ A 2 προσάλληλα (accentu restituto ex spiritu) θεσεις P [illegible] ἡμερῶν P: [illegible] Ab: cf. Spengelius *Münchn. gel. anz.* 1843 p. 917 [illegible] ἀστρολόγος A [illegible] 6 δὲ ob A [illegible] 7 τὰ κυριώτατ' [illegible] δὲ τὰ κυριώτατα [illegible] δὲ κυριώτερα B sed supra scr ατα [illegible] 10 [illegible] καὶ εἰ καὶ ἡ Ab. εἰ ἡ Wimmer [illegible] 12 κινεῖται B: κινῆται PA [illegible] 16 ἀρ P ἄρ A [illegible] εἴ γε Sylburgius εἴτε P [illegible] 17 ὡ[illegible] P: ὧδει A[illegible]B [illegible] A² [illegible]τέον P [illegible] 22 μηδὲν PA: μηθὲν b [illegible] 23 αλλ ωσ sine [illegible] prosodia P ἀλλ' ὡς Ab: [illegible] addidi 24 δ' Pb: δὲ A [illegible] Zeller [illegible] χρὴ P χρὴν A χρὴν b 25 ἔνια scil. οὐ ῥᾴδια ἀφορίζεσθαι [illegible] conicias ἐνίων [illegible] A [illegible] 26 ἀνάγκ[illegible] P [illegible] 28 ἕνεκα post ἔφοδοι traicit A [illegible] A [illegible]

[illegible] 2 καὶ ἀναχωρήσεις suppleui [illegible] φυσ. δοξ. fr. 12 p. 486, 4. 17 sqq. D [illegible] ἀναξηρανσεια PA [illegible] προ P [illegible] 4 ἢ [illegible] exclusi pleniorem formam superioris (u. 3) [illegible] 6 δ' Pb: om A [illegible] 7 ἐτι P, A: ἐστι B [illegible] αυτοισ ζώιοισ P [illegible] μαστ[illegible] A [illegible] ἔκφυσιν P [illegible] 11 ἐστι δὲ A [illegible] 12 τοῖς δὲ Ab [illegible] λελυ[illegible]μένων P: λελωβημένοις Ab [illegible] κινή[illegible] [illegible] PAb [illegible] 14 φύσειν [illegible] 18 ουθενοσ P: οὐδενὸς A [illegible] 19 του τούτω[illegible] PAb [illegible] 20 ταὐτὰ interpres: ταυτα[illegible] [illegible] αὐτὸ A [illegible] 22 ἐχούσαι [illegible] 23 εἴδεσιν P: εἴδει A [illegible] τίνος Pb: τίνος [illegible] A [illegible] ζητήσειεν [illegible] ζητήσειεν corr. [illegible] 25 προσοῦσαν scil. ὡρισμένην φύσιν (u. 21) [illegible] ποιοῦσιν [illegible] ποιοῦσι Ab [illegible] προτέρως A [illegible] 26 [illegible] P: ἢ A [illegible]

λληλα διαφορᾶς. εἰ δὲ μή, τοῦθ' ἕνεκά του καὶ εἰς τὸ ἄριστον ληπτέον τινὰς ὅρους καὶ οὐκ ἐπὶ πάντων ἁπλῶς θετέον. ἐπεὶ καὶ τὰ τοιάδε ἔχει τινὰ διστασμὸν καὶ ἁπλῶς λεγόμενα καὶ καθ' ἕκαστον· ἁπλῶς μὲν ὅτι τὴν φύσιν ⟨εἰκὸς⟩ ἐν ἅπασιν ὀρέγεσθαι τοῦ ἀρίστου καὶ ἐφ' ὧν ἐνδέχεται μεταδιδόναι τοῦ ἀεὶ καὶ τοῦ τεταγμένου· ὡς δ' αὔτως καὶ ἐπὶ τῶν ζῴων ὁμοίως· ὅπου γὰρ οἷόν τε τὸ βέλτιον, ἐνταῦθα οὐδαμοῦ παραλείπει, οἷον τὸ ἔμπροσθεν τὴν φάρυγγα τοῦ οἰσοφάγου (τιμιώτερον γάρ), καὶ ἐν τῇ μέσῃ κοιλίᾳ τῆς καρδίας τὴν κρᾶσιν ἀρίστην, ὅτι τὸ μέσον τιμιώτατον·

32 ὡσαύτως δὲ καὶ ὅσα κόσμου χάριν· εἰ γάρ, καὶ ἡ ὄρεξις οὕτως. ἀλλ' ἐκεῖνό γ' ἐμφαίνει διότι πολὺ τὸ οὐχ ὑπακοῦον οὐδὲ δεχόμενον τὸ εὖ, μᾶλλον δὲ πολλῷ πλεῖον· ὀλίγον γάρ τι τὸ ἔμψυχον, ἄπειρον δὲ τὸ ἄψυχον· καὶ αὐτῶν τῶν ἐμψύχων ἀκαριαῖον καὶ βέλτιον τῷ εἶναι· τὸ δ' ὅλον σπάνιόν τι καὶ ἐν ὀλίγοις τὸ ἀγαθόν, πολὺ δὲ πλῆθος εἶ τοῦ κακοῦ, ἐν ἀοριστίᾳ δὲ μόνον καὶ οἷον ὕλης εἴδει, καθαιρεῖν τὰ τῆς φύσεως ἀμαθεστάτου. εἰκῇ γὰρ οἱ περὶ τῆς ὅλης οὐσίας λέγοντες, ὥσπερ Σπεύσιππος σπάνιόν τι τὸ τίμιον ποιεῖ τὸ περὶ τὴν τοῦ μέσου χώραν, τὰ δ' ἄκρα καὶ ἑκατέρωθεν. τὰ μὲν οὖν ὄντα καλῶς ἔτυχεν ὄντα.

33 Πλάτων δὲ καὶ οἱ Πυθαγόρειοι μακρὰν τὴν ἀπόστασιν ἐπι * * μιμεῖσθαι γ' ἐθέλειν ἅπαντα· καίτοι καθάπερ ἀντίθεσίν τινα ποιοῦσιν τῆς ἀορίστου δυάδος καὶ τοῦ ἑνός, ἐν ᾗ καὶ τὸ ἄπειρον καὶ τὸ ἄτακτον καὶ πᾶσα ὡς εἰπεῖν ἀμορφία καθ' αὑτήν, ὡς οὐχ οἷόν τε ἄνευ ταύτης τὴν τοῦ ὅλου φύσιν, ἀλλ' οἷον ἰσομοιρεῖν ἢ καὶ ὑπερέχειν τῆς ἑτέρας· ἢ καὶ τὰς ἀρχὰς ἐναντίας. διὸ καὶ οὐδὲ τὸν θεόν, ὅσοι τῷ θεῷ τὴν αἰτίαν ἀνάπτουσιν, δύνασθαι πάντ' εἰς τὸ ἄριστον ἄγειν, ἀλλ' εἴ περ, ἐφ' ὅσον ἐνδέχεται· τάχα δ' οὐδ' ἂν προέλοιτ', εἴ περ ἀναιρεῖσθαι συμβήσεται τὴν ὅλην οὐσίαν ἐξ ἐναντίων γε καὶ ⟨ἐν⟩ ἐναντίοις οὖσαν. φαίνεται δὲ 34
καὶ ἐν | τοῖς πρώτοις ἐπιθεωρούμενα πολλὰ καὶ ὡς ἔτυχεν, οἷον τὰ περὶ τὰς τῆς γῆς [illegible]θέντα μεταβολάς· οὔτε γὰρ τὸ βέλτιον οὔτε τὸ τινὸς χάριν, ἀλλ' εἴ περ, ἀνάγκῃ τινὶ κατακολουθεῖν· πολλὰ δὲ καὶ ἐν τῷ ἀέρι τοιαῦτα καὶ ἐν ἄλλοις. μάλιστα δ' ἂν δόξειεν ἔχειν τήν τε τάξιν * * τῶν μὲν αἰσθητῶν τὰ οὐράνια, τῶν δ' ἄλλων, εἰ μὴ ἄρα καὶ πρότερα τούτων, τὰ μαθηματικά· εἰ γὰρ καὶ μὴ πᾶν ἀλλ' ἐν τούτοις πλέον τὸ τεταγμένον. πλὴν εἴ τις τοιαύτας λαμβάνοι τὰς μορφάς, οἵας Δημόκριτος ὑποτίθεται τῶν ἀτόμων.

ἀλλὰ δὴ τούτων μὲν πέρι σκεπτέον. ὃ δ' ἐξ ἀρχῆς ἐλέχθη, πειρατέον τινὰ λαμβάνειν ὅρον καὶ ἐν τῇ φύσει καὶ ἐν τῇ τοῦ σύμπαντος οὐσίᾳ καὶ τοῦ ἕνεκά του καὶ τῆς εἰς τὸ βέλτιον ὁρμῆς. αὕτη

b22 cf. Theophrastus π. αἰσθ. 65 sqq. p. 517, 22 Diels.

1 διαφορᾶς A   μὴ τοῦθ' P, Ab. cf. b27. 15   2 ὅρους. οὐκ omissa coniunctione A   4 διστασμὸν P: δισταγμὸν A   λεγόμενα P: λεγόμεν' ἃ Ab   καθέκαστον P: καθ' ἕκαστον A   5 post ἁπλῶς falso iterata θετέον· ἐπεὶ καὶ τὰ τοιάδε ἔχει (ex u. 3) sed deleta exhibet A   εἰκὸς exempli causa suppleui   8 αὔτως Ab: αὐτὸς P. explicatur quod antea propositum erat καθ' ἕκαστον   ὅπου P: ὅποι A   10 οἰστοφάγου P   11 μεσῆι P   12 κρᾶσιν PA   14 ἐκεῖνο γε A   18 τῷ] τὸ PAb   19 τι P: τε Ab   20 εἶ] ἢ P ᾗ A εἶ B εἶναι Oporinus edidit   τὸ κακόν· οὐκ εἰ (ει A) ἀοριστία P, Ab. ἐν etiam Zeller   21 εἴδη P εἴδη Ab   καθαιρεῖν] καθάπερ PAb   21 sq. ἀμαθεστάτου εἰ· καὶ γὰρ P ἀμαθεστάτου· εἰ καὶ γὰρ A: correxit Sylburgius   24 χώραν P   25 ἑκατέρω A
27—b23 bis disputatio superior non continuari uidetur sed alio modo iterari

1 ἐπιμιμεισθαι P, Ab: hiatum indicaui, cui supplendo nescio an hoc sufficiat ἐπι[νοοῦντες τῶν τῆδε ἀποφαίνονται τὸ ἕν]   γ' ἐθέλειν P: γε θέλειν Ab   ἅπαντας Camotius   3 ἄπειρον sed υ supra ει m sec A   5 ὡς] ὅλωσ P ὅλως δὲ Ab   ἀνὲ[υ] cum litura (ex ἐν corr) P1   9 πάντ' εἰς A: πάντ' εἰσ P   τὸ ἀόριστον A   10 εἴπερ P   11 οὐσίαν P, A2 ἁγίαν A1   12 καὶ ἐναντίοις P, A: ἐν suppleuit B2 et Sylburgius   14 τὰ] τὸ A   περὶ τὰς] περί τε P περὶ Ab   15 fort. τῷ βελτίονι οὔτε τῷ   τινὸς PA: τίνος b   18 τήν τε τάξιν P: τὴν τάξιν Ab. hiatum notaui, intercidisse καὶ τὸ ὡρισμένον coniicio cf. p. vi b28   23 ἀτόμων sic   24 περίσκεπτέον A   ὃδ' PA

p. 32 a Br.

γὰρ ἀρχὴ τῆς τοῦ σύμπαντος θεωρίας, ἐν [illegible] τὰ ὄντα καὶ πῶς ἔχει πρὸς ἄλληλα.

Τοῦτο τὸ βιβλίον Ἀνδρόνικος μὲν καὶ Ἕρμιππος ἀγνοοῦσιν· οὐδὲ γὰρ μνείαν αὐτοῦ ὅλως πεποίηνται ἐν τῇ ἀναγραφῇ τῶν Θεοφράστου βιβλίων· Νικόλαος δὲ ἐν τῇ θεωρίᾳ τῶν Ἀριστοτέλους Μετὰ τὰ φυσικὰ μνημονεύει αὐτοῦ, λέγων εἶναι Θεοφράστου. εἰσὶ δ᾽ ἐν αὐτῷ οἷον προδιαπορίαι τινὲς ὀλίγαι τῆς ὅλης πραγματείας.

2 Θεοφράστου τῶν μετὰ τὰ φυσικά (φυσικῶν A) subscribunt PA 4—5 subscriptionem testatur PAB. quarum et formae cod. V [illegible] Historiae plantarum sub finem libri H adnotat (anal. Theophr. p. 23) Ἕρμιππος δὲ Περὶ φρυγανικῶν καὶ ποιωδῶν, Ἀνδρόνικος δὲ Περὶ φυτῶν ἱστορίας [illegible] τὸ A: om P 5 μνεῖαν P

1 τῇ ἀναγραφῇ P 2 τῇ θεωρίᾳ P 4 δ᾽ ἐν P: δὲ ἐν A [illegible] προδιαπορίαι P: προδιαπορήσεις A.